www.tezaurliturgic.ro

# ΑΚΟΛΟΥΘΙΑ
# ΤΟΥ ΑΓΙΟΥ ΚΑΙ ΕΝΔΟΞΟΥ ΜΑΡΤΥΡΟΣ
# ΔΗΜΗΤΡΙΟΥ ΤΟΥ ΝΕΟΥ

Τοῦ ἐκ Λιγουδίστης (νῦν Χώρας) Τριφυλλίας καὶ ἐν Τριπόλει μαρτυρήσαντος τῷ ,αωγ΄ ἔτει (1803), 14 Ἀπριλίου.

ΨΑΛΛΟΜΕΝΗ Τῌ ΙΔ΄ ΑΠΡΙΛΙΟΥ
ΚΑΙ ΚΒ΄ ΜΑΙΟΥ



www.tezaurliturgic.ro

# ΑΚΟΛΟΥΘΙΑ
# ΤΟΥ ΑΓΙΟΥ ΚΑΙ ΕΝΔΟΞΟΥ ΜΑΡΤΥΡΟΣ
# ΔΗΜΗΤΡΙΟΥ ΤΟΥ ΝΕΟΥ

Τοῦ ἐκ Λιγουδίστης (νῦν Χώρας) Τριφυλλίας καὶ ἐν Τριπόλει μαρτυρήσαντος τῷ ,αωγ΄ ἔτει (1803), 14 Ἀπριλίου.

ΨΑΛΛΟΜΕΝΗ ΤΗ͂Ι ΙΔ΄ ΑΠΡΙΛΙΟΥ ΚΑΙ ΚΒ΄ ΜΑΙΟΥ

## ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν Στίχους ϛ΄ καὶ ψάλλομεν τὰ δ΄ Προσόμοια, δευτεροῦντες τὰ δύο πρῶτα.

Ἦχος δ΄. Ἔδωκας σημείωσιν.

Ἔρωτι τῆς πίστεως, Μάρτυς Χριστοῦ πυρπολούμενος, ὡς δορκὰς ἐξελήλυθας, τῶν βρόχων καλλίνικε, τῶν τῆς ἀσεβείας, καὶ ἀπλέτῳ πόθῳ, τῆς μαρτυρίας τὸν καλόν, δρόμον ἀνύσας κατεπειγόμενος, τὸ αἷμά σου ἐξέχεας, ὑπὲρ Χριστοῦ ἀξιάγαστε· ὃν δυσώπει Δημήτριε, τοῦ σωθῆναι τοὺς δούλους σου.

Ἔσπευσας Δημήτριε, ἐν ᾗπερ πόλει τὸ πρότερον, τὸν Σωτῆρα ἐξώμοσας, ἐν ταύτῃ τὸ αἷμά σου, πιστῶς ἐκκενῶσαι, καὶ τοῦ ποθουμένου, θείᾳ συνάρσει τετευχώς, μίασμα πλάνης ἀθέου ἔσβεσας· διόπερ τῆς ἀθλήσεως, τὸν θεῖον δρόμον τετέλεκας, καὶ Τριάδα ἐκήρυξας, παρρησίᾳ πανόλβιε.

Φρονήματι ἔνδοξε, γενναιοτάτῳ κατέβαλες, σὲ τὸν δόλῳ πτερνίσαντα, ἐχθρὸν πολυμήχανον, καὶ τὴν Ἄγαρ πλάνην, καλῇ προθυμίᾳ, ἀπεσκυβάλισας στερρῶς, ὑπερδοξάσας σῶν ἄθλων στίγμασι, τὸν σταυρωθέντα Κύριον, καὶ τοὺς πιστοὺς καθηγίασας, τοῖς σοῖς αἵμασιν ἔνδοξε, Νεομάρτυς Δημήτριε.

Ὁ μέγας Γεώργιος, καὶ ὁ γενναῖος Δημήτριος, τῶν Μαρτύρων οἱ ὄρχαμοι, ἀπήντησαν χαίροντες, σοὶ σὺν Θεοδώρῳ, καὶ τῷ Πολυδώρῳ, τοῖς λαμπροτάτοις Ἀθληταῖς, ὧν περ τὴν πτῶσιν καὶ τὴν ἀνόρθωσιν, καλῶς ἐκμιμησάμενος, τοῖς ἴσοις γέροις δεδόξασαι, πρὸς Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, Ἀθλητὰ γενναιότατε.

Δόξα. Ἦχος πλ. β΄.

Ἀθανασίας πλήρης ἡ ἐλπίς σου ἐγένετο, παμμάκαρ Δημήτριε. Ὁμολογήσας γάρ, ὃν ἐξηρνήσω Δεσπότην, ἀσμένως τὸ μακάριον τέλος ἀπείληφας, καὶ αὐτομόλῳ τῇ προθυμίᾳ, τὴν κεφαλὴν ἀποτμηθείς, τοῖς τῶν αἱμάτων σου ῥείθροις, τὴν Ἄγαρ πλάνην κατήσχυνας, καὶ τὴν Χριστοῦ Ἐκκλησίαν πᾶσαν κατηύφρανας. Ὅθεν αἱ τῶν Ἀγγέλων ἐκρότησαν χορεῖαι, τὸ ἐν τοῖς ἄθλοις σου εὔτονον, καὶ τῶν πιστῶν τὰ πλήθη, τὴν ἐτήσιόν σου μνήμην γεραίροντες, θερμῶς

www.tezaurliturgic.ro

ἐξαιτούμεθα, πρεσβεύειν ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

**Καὶ νῦν, τῆς ἑορτῆς.**

Εἴσοδος, Φῶς ἱλαρόν, τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα τοῦ Ἁγίου Γεωργίου, ΚΓ' Ἀπριλίου.

## ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ

**Στιχηρά. Ἦχος α'.**

Πρέπει αἴνεσις εὐθέσιν, ὡς ψάλλει ὁ Δαβίδ. Εὐθὺς γὰρ εὑρεθεὶς τῇ καρδίᾳ Δημήτριε, δικαίως δεδόξασαι, πρὸς Χριστοῦ τοῦ Θεοῦ ἡμῶν· πεσὼν ἀνέστης, καὶ ἐχθρὸν τὸν σὲ πλήξαντα, καιρίως ἀντέτρωσας, τῇ καλῇ ὁμολογίᾳ. Ἀγγέλων συνόμιλε, τῶν ἀγαθῶν ὧν ἐντρυφᾷς, ἀξίωσον τοὺς ὑμνοῦντάς σε.

**Ὁ αὐτός.**

Ἀστὴρ φαεινός, ἐν αὐχμηρῷ τόπῳ διέλαμψας Δημήτριε, τοὺς πιστοὺς θαρρύνας, τῇ ὁμολογίᾳ τῆς πίστεως, καὶ τοὺς ἀπίστους ἐκπλήξας, τῷ ἀνενδότῳ τῆς καρτερίας σου. Ὅθεν οἰκῶν τὰ ἐπουράνια, μὴ παύσῃ πρεσβεύων ὑπὲρ τῶν τιμώντων σε.

**Ὁ αὐτός.**

Ὡς ἔλαφος διψῶσα, Δημήτριε ἔδραμες, πρὸς ἣν ἐξώμοσας πόλιν, τὸν Σωτῆρα τὸ πρίν. Ἐν ᾗ καὶ τὸ μακάριον, ἐκκενώσας σου αἷμα, τὸ προστριβέν σοι ἄγος ἀπεκάθηρας. Ἔφριξαν τῶν ἀσεβῶν τὰ συστήματα, δρῶντα τὴν καρτερίαν σου· ἡδράσθησαν οἱ πρὶν σαλευόμενοι, τῇ γνώμῃ τῆς παρρησίας σου· οἱ πιστοὶ ἡγιάσθησαν· οἱ Ἄγγελοι εὐφράνθησαν· τῶν δὲ Μαρτύρων τὰ στίφη ὕμνησαν κράζοντα· Δόξα τῷ Σωτῆρι Θεῷ, τῷ δόντι σοι τὴν χάριν τῆς ἀθλήσεως.

**Ὁ αὐτός.**

Μακαρία εἶ, ὦ Τρίπολις, ἁγιασθεῖσα τοῖς αἵμασι Δημητρίου τοῦ μάρτυρος· οὐκέτι ἐλαχίστη σὺ ἐν πόλεσιν οὐδὲ ἄσημος· εὐκλεὴς δὲ μᾶλλον καὶ περίπυστος, τοιοῦτον πολιοῦχον πλουτίσασα. Ἀγάλλου καὶ χόρευε, κατέχουσα ἐν κόλποις τὸ θεῖον αὐτοῦ λείψανον, ὡς θησαυρὸν ἀδάπανον καὶ κρήνην ἰαμάτων, καὶ τῷ Σωτῆρι βόησον· Ὁ διὰ τοῦ Μάρτυρος ἐνδοξασθείς, φρούρει δι' αὐτοῦ τὴν κληρονομίαν σου.

**Δόξα. Ἦχος πλ. α'.**

Νομίμως ἐναθλήσας, δικαίως ἐστεφανώθης ἀοίδιμε Δημήτριε. Περιστάσεσι δειναῖς ὑπαχθείς, εἰς ἀσεβείας ὄλεθρον, οὐκ ἔφθης γνοὺς τὴν πλάνην εἰς ἣν ἐξέκλινας, καὶ σπεύσας ἐπανῆκες, ὅθεν ἐκπέπτωκας. Δακρύων δὲ κρουνοῖς σεαυτὸν προεκκαθάρας, καὶ πόνοις τῆς ἀσκήσεως προτελεσθεὶς προφρόνως, τὸν δρόμον τῆς ἀθλήσεως διήνυσας, καὶ ὡς θυσία ἄμωμος τῷ ὑπὲρ ἡμῶν τυθέντι προσηνέχθης, καὶ πρεσβεύεις ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

**Καὶ νῦν, τῆς ἑορτῆς.**

## ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ

Στιχηρὰ Προσόμοια.

**Ἦχος α'. Τῶν οὐρανίων ταγμάτων.**

Ἀνορθωθεὶς θαυμασίως, Μάρτυς τοῦ πτώματος, τὸν μαργαρίτην αὖθις, ὃν ἀπώλεσας πρώην, Δημήτριε ἀνεκτήσω καὶ ἐν χαρᾷ, ἀπετμήθης τὴν κάραν σου, ἣν ἀσπαζόμενοι πόθῳ σὲ πρεσβευτήν, καὶ προστάτην προβαλλόμεθα.

www.tezaurliturgic.ro

Στίχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ.

Τῆς συνειδήσεως μάκαρ, ὑπονυττόμενος, τῷ σωτηρίῳ κέντρῳ, τῆς πωρώσεως τάχος, ἐξένηψας θεόφρον καὶ τῷ λουτρῷ, σῶν αἱμάτων Δημήτριε, ἐκκαθαρθεὶς τοῦ πρὶν ῥύπου μαρτυρικῷ, διαδήματι κατέστεψαι.

Στίχ. Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.

Τί οὐκ ἐποίουν οἱ θῆρες; τί δὲ οὐκ ἔλεγον; Δημήτριέ σε Μάρτυς, τοῦ Χριστοῦ ἀποστῆσαι, τῆς πίστεως τῆς θείας· σὺ δ' ἀηδών, ὡς καλλίφωνος ἔλεγες· Τὸν Ἰησοῦν μου κηρύττω ὡς Ποιητήν, καὶ Θεὸν καὶ Παντοκράτορα.

Δόξα. Ἦχος γ'.

Ἄνθρακα πλάνης κατέσβεσε, τὸ αἷμά σου Δημήτριε, ᾧ οἱ πιστοὶ χριόμενοι, ῥῶσιν ψυχῆς καὶ σώματος κομιζόμεθα διὰ τῆς θείας χάριτος· καὶ γεγηθότες ἐτησίως τὴν μνήμην σου τελοῦμεν Ἀθλητά. Χριστὸς γὰρ ὁ Σωτὴρ ἡμῶν, ὃν ἐμαρτύρησας Θεόν, χαρίτων σε πηγὴν ἀνέδειξε πανόλβιε. Αὐτὸν καὶ νῦν ἡμῖν ἱλέωσαι ταῖς ἱκεσίαις σου.

**Καὶ νῦν, τῆς ἑορτῆς.**

**Ἀπολυτίκιον.**

**Ἦχος α'. Τῆς ἐρήμου πολίτης.**

Τῆς Λιγουδίστης τὸν γόνον, καὶ τῆς Χίου ἀνάστημα, καὶ τὸ περιώνυμον ὄντως, τῆς Τριπόλεως καύχημα, Δημήτριον τὸν νέον οἱ πιστοί, γεραίροντες ὡς μάρτυρα Χριστοῦ, ἀνυμνήσωμεν βοῶντες, τῷ ἐν ἁγίοις θαυμαστῷ Θεῷ ἡμῶν· Δόξα τῷ ἐνισχύσαντι αὐτόν· δόξα τῷ στεφανώσαντι· δόξα τῷ ἐνεργοῦντι δι' αὐτοῦ πᾶσιν ἰάματα.

**Δόξα. Καὶ νῦν, τῆς ἑορτῆς.**

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Τό, Θεὸς Κύριος, καὶ τὰ Ἀπολυτίκια ὡς εἰς τὸν Ἑσπερινόν.

Μετὰ τὴν α' Στιχολογίαν, Κάθισμα.

**Ἦχος α'. Τὸν τάφον σου Σωτήρ.**

Τὸν μάρτυρα Χριστοῦ, καὶ λαμπρὸν ἀριστέα, Δημήτριον πιστοί, εὐφημήσωμεν πόθῳ, καὶ πίστει βοήσωμεν, πρὸς αὐτόν· Πάσης θλίψεως, διαφύλαττε, τοὺς σὲ γεραίροντας Μάρτυς, καὶ ἀξίωσον, τῆς οὐρανῶν βασιλείας, ταῖς θείαις πρεσβείαις σου.

**Δόξα, ὅμοιον.**

Ἀντέστης καρτερῶς, πρὸς τὴν πλάνην τρισμάκαρ, καὶ νίκης τοὺς λαμπρούς, ἀνεδήσω στεφάνους, καὶ πᾶσαν κατῄσχυνας, τὴν ἰσχὺν τοῦ ἀλάστορος· ὅθεν σήμερον, ἡ τῆς Τριπόλεως πόλις, σοῦ τὴν ἔνδοξον, ἀποτομὴν ἑορτάζει, Δημήτριε χαίρουσα.

**Καὶ νῦν, τῆς ἑορτῆς.**

Μετὰ τὴν β' Στιχολογίαν, Κάθισμα.

**Ἦχος γ'. Τὴν ὡραιότητα.**

Τὸ ἀπερίτρεπτον τῆς καρτερίας σου, καὶ τὴν λαμπρότητα τῆς μαρτυρίας σου, ἔφριξαν θῆρες οἱ δεινοί, βοῶντός σου Νεομάρτυς· Τὸν Χριστόν μου σέβομαι, ὃν ἀφρόνως ἐξώμοσα, πλάνην δὲ καχέσπερον, ἐκφαυλίζω τρανώτατα. Διὸ ἀποτμηθείς σου τὴν κάραν, χαίρων εἰς οὐρανοὺς ἀνέπτης.

**Δόξα, τὸ αὐτό. Καὶ νῦν, τῆς ἑορτῆς.**

Μετὰ τὸν Πολυέλεον, Κάθισμα.

**Ἦχος δ'. Κατεπλάγη Ἰωσήφ.**

Ἐξεπλάγη ὁ πιστός, σοῦ συνοδίτης καθορῶν, γενναῖε Μάρτυς τοῦ Χριστοῦ, τὰς τῶν δακρύων σου ῥοάς, τὰς ἱκεσίας τὴν τῆξιν καὶ τὰς νηστείας.

www.tezaurliturgic.ro

Ὅθεν γεγηθὼς, ἐνεκαρτέρησε, τοῖς πάθεσι τοῖς σοῖς, καὶ ἠξίωται, καὶ τὴν ἡμέραν Μάρτυς κατιδεῖν σου, τῆς ἱερᾶς τελειώσεως· ἧς νῦν τὴν μνήμην, ἐπιτελοῦντες, πιστῶς εὐφημοῦμέν σε.

Δόξα, τὸ αὐτό. Καὶ νῦν, τῆς ἑορτῆς.

Οἱ Ἀναβαθμοί.

Τὸ α΄ Ἀντίφωνον τοῦ δ΄ ἤχου καὶ τὸ

Προκείμενον. Ἦχος δ΄.

Δίκαιος ὡς φοίνιξ ἀνθήσει, καὶ ὡς ἡ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.

Τὸ, Πᾶσα πνοὴ, καὶ τὸ Εὐαγγέλιον τοῦ Ὄρθρου τοῦ ἁγίου Γεωργίου.

Ὁ Ν΄. Δόξα. Ταῖς τοῦ Ἀθλοφόρου...
Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου...

Στίχ. Ἐλέησόν με ὁ Θεός... καὶ τὸ
Ἰδιόμελον. Ἦχος πλ. β΄.

Σέλας ἡλίου δίκην, ηὔγαζε Δημήτριε ἡ θεία κάρα σου, τοὺς πιστοὺς μὲν φωτίζουσα, τὸ δὲ τῆς πλάνης σκότος, πόρρω ἐλαύνουσα. Ἣν ἐν κόλποις κατέχουσα ἡ Τρίπολις παντὸς δεινοῦ, λυτροῦται ταῖς πρεσβείαις σου.

Ὁ ἱερεύς. Σῶσον ὁ Θεὸς τὸν λαόν σου κ.τ.λ.

Εἶτα ὁ Κανών, οὗ ἡ ἀκροστιχίς.

Τέτμηκας ἐχθρόν, τῷ ξίφει τμηθεὶς Μάρτυς.

Ὠδὴ α΄.

Ἦχος πλ. β΄. Ὡς ἐν Ἠπείρῳ.

Τῷ τρισηλίῳ καὶ θείῳ παρεστηκὼς, θρόνῳ τῆς Θεότητος, χάριν δός μοι Ἀθλητά, ἐν ἀνοίξει στόματος τὰ σά, ἀνυμνῆσαι Δημήτριε, στερρὰ παλαίσματα.

Ἐποδυρόμενος Μάρτυς μετ᾽ οἰμωγῆς, τῷ Σωτῆρι ἔκραζες· Ἄνες ἄφες μοι Θεέ, τῷ ἀρνησαμένῳ σε οἰκτρῶς, καὶ τοῦ θείου μαρτυρίου με ἀξίωσον.

Τῶν οὐρανίων θαλάμων ἀξιωθεὶς, τῆς τερπνῆς οἰκήσεως, τῶν ἀρρήτων ἐντρυφᾷς, τῇ τῆς θείας δόξης καλλονῇ, καλλυνόμενος λαμπρῶς· ὅθεν ὑμνοῦμέν σε.

Θεοτοκίον.

Ἡ χαριτώνυμος Κόρη ἡ τὸν Θεόν, ἐν γαστρὶ χωρήσασα, τὸν ἀχώρητον παντί, ἐκ φθορᾶς με λύτρωσαι Ἁγνή, ἵνα πόθῳ προσκυνῶ, καὶ μεγαλύνω σε.

Ὠδὴ γ΄. Οὐκ ἔστιν Ἅγιος ὡς σύ.

Κάραν συνθλάσας τοῦ ἐχθροῦ, Δημήτριε τῇ καλῇ σου, μαρτυρίᾳ γενναίως, τὸν Σωτῆρα Ἰησοῦν, ὃν ἐξηρνήσω τὸ πρίν, ἐναντίον, πάντων ἐμεγάλυνας. Δὶς

Ἄγος σφραγῖδος βδελυρᾶς, αἵματός σου τῇ ῥύσει, τοῦ τιμίου ἐκπλύνας, ὡς λευκάζων ἀετός, πρὸς οὐρανίους σκηνάς, στεφηφόρος, Μάρτυς ἀνελήλυθας.

Θεοτοκίον.

Χοροὶ Μαρτύρων τὸ σεπτόν, ὄνομα τοῦ Υἱοῦ σου, ὡμολόγησαν πόθῳ, ἐναντίον τῶν ἐχθρῶν, καὶ τὴν τεκοῦσαν αὐτόν, Θεοτόκον, κόσμῳ σὲ ἐκήρυξαν.

Κάθισμα.

Ἦχος δ΄. Ὁ ὑψωθεὶς.

Τὸν κορυφαῖον τῶν σοφῶν Ἀποστόλων, ἔνδοξε Μάρτυς τοῦ Χριστοῦ ἐμιμήσω, ἀνορθωθεὶς τοῦ πτώματος, οὗ ἔφθης πεσών. Ὅθεν καὶ ἀνέκραζες, ἐν σταδίῳ γενναίως· Πλάνην τὴν ψυχόλεθρον, ἀποπτύω προφρόνως, τὸν δὲ Χριστὸν Θεὸν ὁμολογῶ, καὶ τὴν ἁγίαν αὐτοῦ πίστιν σέβομαι.

Δόξα, τὸ αὐτό. Καὶ νῦν, τῆς ἑορτῆς.

www.tezaurliturgic.ro

'Ωδὴ δ'. Χριστός μου δύναμις.

Θρηνῶν ἀνέκραζες· Βαβαὶ τοῦ πτώματος, οὗ ὑπέστην ἀθλίως συμποδισθείς! τίς μὲ οἰκτειρήσειεν, εἰμὴ σὺ Σῶτερ ἀγαθέ, φύσει ἔχων τὴν συμπάθειαν; Δὶς

Ροὰς δεξάμενος, τὰς τῶν δακρύων σου, ὁ Χριστὸς εὐμενῶς σε τοῦ ἐφετοῦ, τέλους κατηξίωσε, καὶ βασιλείας οὐρανῶν, κληρονόμον ἀπειργάσατο.

Θεοτοκίον.

Τριάδος ἔλλαμψιν, τῷ θείῳ Τόκῳ σου, μυηθέντες Παρθένε οἱ ἐπὶ γῆς, πόθῳ σὲ γεραίρομεν, καὶ διανοίᾳ καθαρᾷ, ὡς προέφης μακαρίζομεν.

'Ωδὴ ε'. Τῷ θείῳ φέγγει σου.

Ὡς νέον θῦμα προσενεχθείς, τῷ ἐπουρανίῳ Βασιλεῖ, καὶ τοῖς κρουνοῖς τῶν αἱμάτων σου, τὴν τῶν πρωτοτόκων καθαγιάσας σκηνήν, αὐτοῖς νῦν συνευφραίνῃ Μάρτυς Δημήτριε. Δὶς

Ξίφει τὴν κάραν σου ἐκτμηθείς, τὰς τοῦ διαβόλου μηχανάς, ἄρδην ἀπάσας ἀπέκοψας, καὶ τὴν Ἄγαρ πλάνην τρανῶς, ὡς μύθων μεστήν, καὶ λήρων καὶ φληνάφων κατεμυκτήρισας.

Θεοτοκίον.

Ἐδρών με ἔρημον ὁ ἐχθρός, ταῖς τῶν ἀλγεινῶν ἐπιφοραῖς, ὁλοσχερῶς κατατρύχει με. Σὲ προστάτιν Μῆτερ Θεοῦ, προβάλλομαι, τῆς τούτου ἐπηρείας με ἐλευθέρωσον.

'Ωδὴ ϛ'. Τοῦ βίου τὴν θάλασσαν.

Ἱλέωσαι Κύριον, τὸν τῶν ὅλων καὶ Θεόν, τοῖς πίστει εὐφημοῦσί σε, καὶ κατασπαζομένοις πανευλαβῶς, τὴν ἔντιμον κάραν σου, Νεομάρτυς πανεύφημε Δημήτριε. Δὶς

Θεόν μου καὶ Κύριον, τὸν Σωτῆρα Ἰησοῦν, ὁμολογῶ ἀνέκραζες, καὶ τῆς ἀγάπης τούτου ὅλως οὐδέν, τῶν πάντων χωρίσει με, οὔτε πῦρ, οὐδὲ ξίφος, οὐδὲ θάνατος.

Θεοτοκίον.

Ἐξ ὅλης καρδίας μου, σοὶ προσέρχομαι Ἁγνή, καὶ σὲ προστάτιν ἄμαχον, πρὸς τὸν Υἱόν σου Κόρη διηνεκῶς, ὁ τάλας προβάλλομαι· μὴ παρίδῃς εἰς τέλος ἀπολέσθαι με.

Κοντάκιον.
Ἦχος δ'. Ἐπεφάνης σήμερον.

Τοὺς τὴν θείαν μνήμην σου ἐπιτελοῦντας, καὶ τὴν θείαν κάραν σου, ἀσπαζομένους εὐλαβῶς, παντὸς κινδύνου περίσωζε, ταῖς σαῖς πρεσβείαις, παμμάκαρ Δημήτριε.

Ὁ Οἶκος.

Δεῦτε τὰ στίφη τῶν πιστῶν, τὸν Μάρτυρα Κυρίου, Δημήτριον τὸν θεῖον, τὸν ἐν ὑστέροις τοῖς καιροῖς ἀθλήσαντα γενναίως, ἄνθεσιν ἐγκωμίων στεφανώσωμεν. Ὡς ὁ Πέτρος γὰρ ὁ κορυφαιότατος, τοῦ πτώματος ἀνορθωθείς, ὃν ἠρνήσατο Δεσπότην, τοῦτον λαμπρᾷ τῇ φωνῇ, ἐνώπιον τυράννων ὡμολόγησε, τέλειον Θεὸν καὶ τέλειον ἄνθρωπον, τὸν ἀρχέκακον δράκοντα κατῄσχυνε, καὶ τὴν ληρώδη τούτων πλάνην ἐξεφαύλισε. Καὶ τὴν κάραν ἐκτμηθείς, τοὺς πιστοὺς ἐκράτυνε, τοὺς ῥιπιζομένους ἡδραίωσε, καὶ τῇ πόλει ταύτῃ φυλακτήριον ὑπάρχει νῦν. Διὰ τοῦτο καὶ ἡμεῖς βοῶμεν αὐτῷ· Παντὸς κινδύνου σῶζε ταῖς πρεσβείαις σου, τοὺς ἐκτελοῦντάς σου τὴν μνήμην, παμμάκαρ Δημήτριε.

Συναξάριον.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ἁγίου

www.tezaurliturgic.ro

καὶ ἐνδόξου Μάρτυρος Δημητρίου τοῦ Νέου.

Ἐχθροὺς βεβήλους αἰσχύνας χρι-[στομάρτυς,
Μετέστης γῆθεν εἰς οὐράνιον πλάτος.

Τῇ δεκάτῃ τετάρτῃ ἄορ Δημήτριον [εἷλε.

Καὶ τὰ λοιπὰ ἐκ τοῦ Μηναίου.

Ὠδὴ ζ΄. Δροσοβόλον μέν.

Ἱερὸν ὡς ὁλοκαύτωμα προσήνεξαι, τῷ τυθέντι Μάρτυς ὑπὲρ σοῦ, καὶ νῦν ἐν σκηναῖς πρωτοτόκων, συγχοροστατῶν, Δημήτριε ψάλλεις ἐν χαρᾷ· Εὐλογητὸς εἶ ὁ Θεός, ἡ τῶν Μαρτύρων ἐλπίς. Δὶς

Μυστικῶς ἐν τῇ καρδίᾳ σου ἐλάλησε, Κύριος καὶ τοῦ θείου πυρός, ἐνοικοῦντός σοι τὸν σπινθῆρα, πλάνης τῇ σποδῷ, κρυπτόμενον ἥναψε ῥιπῇ, τοῦ θείου Πνεύματος αὐτοῦ, ὁ τῶν Πατέρων Θεός.

Θεοτοκίον.

Τὸν Θεὸν ὡς τετοκυῖαν προβαλλόμεθα, Δέσποινα προστασίαν ἡμῶν, τῇ δυνάμει δὲ πεποιθότες, Ἄχραντε τῇ σῇ, τροπούμεθα στίφη πονηρά, τὰ καθ᾽ ἡμῶν τῶν ὁρατῶν, καὶ ἀοράτων ἐχθρῶν.

Ὠδὴ η΄. Ἐκ φλογὸς τοῖς ὁσίοις.

Τῆς καλῆς καὶ γενναίας ὁμολογίας σου, ὦ Δημήτριε Μάρτυς Κυρίου κήρυγμα, ἤδρασε πιστούς, δυσσεβοῦντας ἐξέπληξεν· ὅθεν σε τιμῶμεν, ᾠδαῖς πιστοὶ καὶ ὕμνοις. Δὶς

Ἀπειλὰς καὶ βασάνους σοὶ ἐπισείοντες, οἱ δυσώνυμοι θῆρες ἑλεῖν οὐκ ἴσχυσαν· εἶχες γὰρ σαφῶς, ἐπὶ πέτραν τῆς πίστεως, τῆς ψυχῆς τὸν πύργον, στερρῶς ἐρειρισμένον.

Θεοτοκίον.

Δελεάσας ὁ ὄφις τὴν σὴν προμήτορα, τὴν φθορὰν τοῖς ἀνθρώποις ἐκληροδότησεν, ἀλλ᾽ ὁ σαρκωθείς, ἐξ ἀχράντων αἱμάτων σου, πάλιν εἰς τὸ πρῶτον, ἀνήγαγε Παρθένε.

Ὠδὴ θ΄. Θεὸν ἀνθρώποις.

Ἰσχὺν καὶ κράτος ἀκαταμάχητον, καὶ πολιοῦχον ἔχει σε Δημήτριε ἡ Τρίπολις· ἐν αὐτῇ γὰρ κέχυται τὸ αἷμά σου. Ὅθεν καὶ ἐτησίως, πανηγυρίζουσα, σοῦ τὴν θείαν μνήμην ἱερῶς ἐν σοὶ φαιδρύνεται. Δὶς

Ἡλίου δίκην ἡμῖν ἀνέτειλεν, ἡ ἱερά σου μνήμη Ἀθλοφόρε Δημήτριε, τοὺς πιστοὺς φωτίζουσα ἀκτῖσι φαιδραῖς, καὶ τὸ τῆς ἀσεβείας, σκότος διώκουσα, καὶ πρὸς οὐρανὸν ποδηγετοῦσα τοὺς ὑμνοῦντάς σε.

Θεοτοκίον.

Φωτὸς δοχεῖον Ἁγνὴ γεγένησαι, καὶ φωτισμοῦ καὶ χάριτος πληροῖς τοὺς ὑμνοῦντάς σε, καὶ φαιδρῶς γεραίροντας· διὸ σοῦ καὶ νῦν, ὑπερδεδοξασμένη, Νύμφη ἀνύμφευτε, ἀνυμνολογοῦμεν οἱ πιστοὶ τὸ θεῖον ὄνομα.

Ἐξαποστειλάριον.
Γυναῖκες ἀκουτίσθητε.

Τὸν μέγαν νῦν Δημήτριον, Πελοποννήσου καύχημα, τὸν θαυμαστὸν ἀριστέα, τὸν ἐν ὑστέροις τοῖς χρόνοις, στερρῶς ὁμολογήσαντα, τὴν πίστιν τὴν ἀμώμητον, καὶ καρτερῶς ἀθλήσαντα, ὕμνοις τιμήσωμεν πάντες, ὡς μάρτυρα τοῦ Κυρίου.

Καὶ τῆς ἑορτῆς.

## ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ

Ἱστῶμεν Στίχους δ΄, καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια.

www.tezaurliturgic.ro

Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου.

Ὅτε ἐπινεύσει θεϊκῇ, τῆς πρὸς ἣν ἐξώλισθες πλάνης, πάλιν ἀνένηψας, πᾶσάν σου τὴν αἴσθησιν, νεκρῶσαι ἔσπευσας, καὶ τὸ σῶμα ἐπήλειψας, πρὸς ἔνθεον πάλην, πρὸς τοὺς κοσμοκράτορας, τοῦ σκότους ἔνδοξε. Ὅθεν ἐκτμηθείς σου τὴν κάραν, χαίρων ὦ Δημήτριε ἤρθης, πρὸς τὰ ὑπερκόσμια σκηνώματα.

Δεῦτε τὸν γενναῖον Ἀθλητήν, ὕμνοις καὶ ᾠδαῖς εὐφημοῦντες, ἐγκωμιάσωμεν· οὗτος γὰρ ἀνέτειλεν, ὥσπερ ἀστὴρ φαεινός, καὶ ὡς ἄνθος τερπνότατον, καρδίας εὐφραίνει, τῶν τὴν θείαν ἄθλησιν, ἐπιτελούντων αὐτοῦ, πάσης ἐκλυτρούμενος βλάβης, καὶ περιφρουρῶν ἐν κινδύνοις, ταῖς πρὸς τὸν Χριστὸν αὐτοῦ δεήσεσι.

Χαίροις Νεομάρτυς τοῦ Χριστοῦ· χαίροις ἀπερίτρεπτε πύργε, τῆς θείας πίστεως· χαίροις τῆς Τριπόλεως, ἔνδοξον καύχημα. Ἐν αὐτῇ γὰρ τὸ θεῖόν σου, ἐξέχεας αἷμα, ὑπὲρ τοῦ τὸ ἴδιον, αἷμα ἐκχέαντος. Ὃν νῦν ἱκετεύων μὴ παύσῃ, πάσης διασώζεσθαι βλάβης, τοὺς τὴν θείαν μνήμην ἐκτελοῦντάς σου.

Ὅτε ἀνοήτως οἱ δεινοί, σὲ κριταὶ Δημήτριε Μάρτυς, θωπεῦσαι ἔσπευδον, κόσμου τὰ τερπνότατα, σοὶ προβαλλόμενοι, τότε μέγα ἀνέκραζες, φωνὴν τὴν ἁγίαν· Χριστιανός εἰμι· ὅθεν Ἀγγέλων χοροί, πόθῳ ἐπεκρότησαν ὄντως, καὶ ἐτραυματίσθη εἰς τέλος, ὁ Σατὰν ἐκεῖνος ὁ παμβέβηλος.

Δόξα. Ἦχος πλ. β΄.

Τὸ αἷμά σου Μάρτυς χεόμενον, βλέποντες ἐτέρποντο Ἄγγελοι, δαίμονες ἔφριττον, καὶ αὐτὸς ὁ διάβολος ἔτρεμε· οὐ γὰρ αἷμα ἁπλῶς τὸ δρώμενον, ἀλλ᾿ αἷμα σωτήριον, αἷμα θεῖον, αἷμα τὸ τὰ καλὰ τῆς Ἐκκλησίας κατάρδον φυτά, ὃ καὶ ἐπαλειφόμενον, παντοίας ἐξιᾶται νόσους. Κοινωνήσας γὰρ Δεσποτικῶν παθημάτων, καὶ συμμορφωθεὶς τῷ θανάτῳ αὐτοῦ, θέσει Θεοῦ υἱὸς ἐχρημάτισας, καθαρῶς ἐποπτεύων τὴν Ἁγίαν Τριάδα, ἧς τὴν πίστιν λαμπρῶς ἀνακηρύξας, τοὺς ἀθέους κατῄσχυνας. Ὅθεν Δημήτριε Μάρτυς, σὺν Γεωργίῳ τῷ κλεινῷ, καὶ Δημητρίῳ τῷ Μυροβλύτῃ, τοῖς Ταξιάρχαις τῆς μαρτυρικῆς παρατάξεως, πρέσβευε ἐκ κινδύνων σωθῆναι ἡμᾶς τοὺς τιμῶντάς σε.

**Καὶ νῦν, τῆς ἑορτῆς.**

Δοξολογία μεγάλη καὶ Ἀπόλυσις.

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τὰ Τυπικὰ καὶ οἱ Μακαρισμοί, καὶ ἐκ τῶν Κανόνων ἡ γ΄ καὶ ϛ΄ ᾠδή.

Ἀπόστολος καὶ Εὐαγγέλιον μαρτυρικόν. Ζήτει τῆς ΚΓ΄ Ἀπριλίου.

**Κοινωνικόν.**

Ἀγαλλιᾶσθε Μάρτυρες ἐν Κυρίῳ.

**Μεγαλυνάριον.**

Ἄστρον ἀνατέταλκε φαεινόν, ἐκ τῆς Λιγουδίστης, ὁ Δημήτριος ὁ κλεινός, καὶ καταπυρσεύει, τοῖς θαύμασι τοὺς πάντας· χρεωστικῶς τὸν ὕμνον, τούτῳ προσάξωμεν.

Ἕτερον.

Φύλαττε καὶ φρούρει, ὦ Ἀθλητά, Δημήτριε νέε, τοὺς τελοῦντας μνήμην τὴν σήν, καὶ πόθῳ ὑμνοῦντας, λαμπράς σου ἀριστείας, προστάτα ὀρθοδόξων, Μαρτύρων καύχημα.